ἰσχυρόταταί τε καὶ εὐδαιμονέσταται γίγνονται· ἄνευ
δὲ ὁμονοίας οὔτ᾽ ἂν πόλις εὖ πολιτευθείη, οὔτ᾽ οἶκος κα-
17 λῶς οἰκηθείη. Ἰδίᾳ δὲ πῶς μὲν ἄν τις ἧττον ὑπὸ
πόλεως ζημιοῖτο; πῶς δ᾽ ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς
νόμοις πείθοιτο; πῶς δ᾽ ἂν ἧττον ἐν τοῖς δικαστηρίοις
ἡττῷτο; ἢ πῶς ἂν μᾶλλον νικῴη; τίνι δ᾽ ἄν τις
μᾶλλον πιστεύσειε παρακαταθέσθαι ἢ χρήματα ἢ
υἱοὺς ἢ θυγατέρας; τίνα δ᾽ ἂν ἡ πόλις ὅλη ἀξιοπι-
στότερον ἡγήσαιτο τοῦ νομίμου; παρὰ τίνος δ᾽ ἂν μᾶλ-
λον τῶν δικαίων τύχοιεν ἢ γονεῖς ἢ οἰκεῖοι ἢ οἰκέται
ἢ φίλοι ἢ πολῖται ἢ ξένοι; τίνι δ᾽ ἂν μᾶλλον πολέ-
μιοι πιστεύσειαν ἢ ἀνοχὰς ἢ σπονδὰς ἢ συνθήκας πε-
ρὶ εἰρήνης; τίνι δ᾽ ἂν μᾶλλον, ἢ τῷ νομίμῳ, σύμμα-
χοι ἐθέλοιεν γίγνεσθαι; τῷ δ᾽ ἂν μᾶλλον οἱ σύμμα-
χοι πιστεύσειαν ἢ ἡγεμονίαν ἢ φρουραρχίαν ἢ πόλεις;
τίνα δ᾽ ἄν τις εὐεργετήσας ὑπολάβοι χάριν κομιεῖ-
σθαι μᾶλλον, ἢ τὸν νόμιμον; ἢ τίνα μᾶλλον ἄν τις
εὐεργετήσειεν, ἢ παρ᾽ οὗ χάριν ἀπολήψεσθαι νομίζει;
τῷ δ᾽ ἄν τις βούλοιτο μᾶλλον φίλος εἶναι ἢ τῷ ἧττον
ἐχθρὸς, ἢ τῷ τοιούτῳ; τῷ δ᾽ ἄν τις ἧττον πολεμή-
σειεν, ἢ ᾧ ἂν μάλιστα μὲν φίλος εἶναι βούλοιτο, ἥκι-
στα δὲ ἐχθρὸς, καὶ ᾧ πλεῖστοι μὲν φίλοι καὶ σύμ-
μαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ᾽ ἐχθροὶ καὶ
18 πολέμιοι; Ἐγὼ μὲν οὖν, ὦ Ἱππία, τὸ αὐτὸ
ἐπιδεί-

§. 17. πῶς δ᾽ ἂν μᾶλλον τιμῷτο] Ab his verbis vsque ad μᾶλλον ante ἢ τίνα media exciderunt in Iunt.

παρακαταθέσθαι] Abeſt a Stobaeo. Sed idem verbum cum πιστεύειν in ſimili re copulatur Sympoſ. VIII, 36.

παρὰ τίνος] Pro παρὰ τίνων recepi lectionem Stobaei et Beſſarionis, vt hoc membrum ſuperioribus et poſterioribus ſimile redderetur.

τίνι δ᾽ ἂν μᾶλλον πολέμιοι — εἰρήνης] Haec abſunt a Stobaei libro. Erneſtus ſuſpicatur, poſt εἰρήνης excidiſſe ποιήσαντι aut ſimile verbum. Sed πιστεύειν τινὶ τι, pro κατά ſeu εἴς τι, ſignificat *aliquo fretum eſſe in re*, ſeu *in re facienda habere fidem alicui*. Sic ex Demoſth. laudat Stephanus in Theſ. τὰ λοιπὰ πιστεύουσιν αὐτοί, *in reliquis confidunt*. Plene occurrit Xenoph. de Vectig. II, 4. εἰ δοκοῖεν Ἀθηναῖοι εἰς τὰς μάχας αὐτοῖς μᾶλλον πιστεύειν ἢ ἀλλοδαποῖς.

ἢ τῷ τοιούτῳ] Iunt. et Stobaeus haec ponunt ante ἢ τῷ ἧττον ἐχθρὸς.